www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν Παρακλητικὸς εἰς τοὺς ἁγίους καὶ πανευφήμους Ἀποστόλους

Ἦχος πλ.δ΄

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν Παρακλητικὸς εἰς τοὺς ἁγίους καὶ πανευφήμους Ἀποστόλους, οὗ ἡ ἀκροστιχίς, κατ' «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.δ΄.

*ᾨδὴ Α΄ Ὑγρὰν διοδεύσας.*

Ἀπόστολοι ἔνδοξοι τοῦ Χριστοῦ, τὴν κεκακωμένην, τρικυμίαις τῶν πειρασμῶν, ψυχήν μου τὴν τάλαιναν πρεσβείαις, ταῖς εὐπροσδέκτοις ὑμῶν διασώσατε.

Βυθοῦ με πεσόντα τῶν πειρασμῶν, Ἀπόστολοι θεῖοι, καὶ ἀνάνευσιν οὐδαμῶς, μὴ ἔχοντα χεῖρα βοηθείας, τῷ ταλαιπώρῳ εὐσπλάγχνως ὀρέξατε.

Γηράσας ὁ δύστηνος ἐν κακοῖς, καὶ μεταμελείας ἠλλοτρίωμαι παντελῶς, ὑμῶν δωρηθῆναί μοι προσφεύγω, τῇ προστασίᾳ μετάνοιαν ἔνδοξοι.

*Θεοτοκίον.*

Ἰοῦ ἡ καθάρασα τῶν βροτῶν, φύσιν τοῦ ἀρχαίου, Παναμώμητε πτερνιστοῦ, τὸν μεμολυσμένον παναισχίστοις, ἔργοις κἀμὲ ἀγαθὴ ἀποκάθαρον.

*ᾨδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.*

Διδαχαῖς τὸν ἅπαντα, κόσμον σοφοὶ ἐφωτίσατε, κἀμοῦ τὸν νοῦν, τὸν ἐσκοτισμένον, καταυγάσατε ἔνδοξοι.

Ἐφ' Ὑμᾶς Ἀπόστολοι, λύσιν προστρέχω ὁ δύστηνος, ἐπιτυχεῖν, πειρασμῶν παντοίων, τοῦ δεινοῦ πολεμήτορος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ζάλης με λυτρώσασθε, τῆς ἁμαρτίας Ἀπόστολοι, καὶ γαληνῷ, ἔνδοξοι λιμένι, ἀπαθείας ὁρμίσατε.

*Θεοτοκίον.*

Λυτρωτὴν ἡ τέξασα, ἀνερμηνεύτως ἐκλύτρωσαι, τῆς τῶν παθῶν, Κόρη τυραννίδος, τὸν σὸν δοῦλον ὡς εὔσπλαγχνος.

*Ὠδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ἡδονῶν ὑπαχθέντα με, τοῖς δεσμοῖς τὸν κόσμον οἱ ἐκλυτρώσαντες, τῶν δεσμῶν τῆς πλάνης ἅγιοι, Λόγον οἱ αὐτόπται με διασώσατε.

Θυρεῷ ἀξιάγαστοι, εὐχῶν ἡμετέρων περιθριγκώσατε, κατὰ τῶν ἐπεμβαινόντων μοι, ἐχθρῶν ἀοράτων τὸν ταλαίπωρον.

Ἰατροὶ ὡς ὑπάρχοντες, τῶν ψυχῶν Χριστοῦ μου μεγαλοκήρυκες, καὶ σωμάτων ἰατρεύσατε, τὸν ὑμᾶς θερμῶς ἐπικαλούμενον.

*Θεοτοκίον.*

Ἀπορούμενον Δέσποινα, ἐξ ἀλλεπαλλήλων με περιστάσεων, δυσχερῶν τῇ δυναστείᾳ σου, καὶ τῇ εὐσπλαγχνίᾳ ἐλευθέρωσον.

*Ὠδὴ Ε΄ Φώτισον ἡμᾶς.*

Κλῖνον ἐπ' ἐμοί, εὐεπήκοον οὖς ἔνδοξε, τῶν Ἀποστόλων δωδεκάς, καὶ τῶν πειρασμῶν διάσωσόν με θεομακάριστε.

Λύσιν δυσχερῶν, περιστάσεων πανεύφημοι, πρυτανεύσατέ μοι ταῖς πρὸς Χριστὸν εὐπροσδέκτοις πρεσβείαις ὑμῶν Ἀπόστολοι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μή με ἱεροί, θεοκήρυκες ἐάσητε, τῆς ἀπωλείας βαίνειν ἐν τῇ ὁδῷ, ἀλλ' ἱκεσίαις ταχύ, ταῖς ὑμῶν με σώσατε.

*Θεοτοκίον.*

Ῥύπων με Ἁγνή, ἀποκάθαρον τὸν ἄθλιον, πρίν με προφθάσῃ ὥρα τοῦ χωρισμοῦ, ἐν ᾗ οὐκ ἔστι παντάπασιν ὁ ῥυόμενος.

*ᾨδὴ ΣΤ΄ Τὴν δέησιν ἐκχεῶ.*

Νικῶσάν με, ἕξιν πολυχρόνιον, καὶ πανώλεθρον καὶ τῆς ἀπωλείας, ἐν τῷ βυθῷ προφανῶς τὸν ἀχρεῖον, καὶ ἀσυνείδητον τάχει καθέλκουσαν, Ἀπόστολοι τοῦ Ἰησοῦ, τυραννίδος με ταύτης λυτρώσατε.

Ξενώσασάν με ἡ θεομίσητος, ἁμαρτία τοῦ Χριστοῦ καὶ Θεοῦ μου, τούτῳ Ὑμῶν ταῖς ἀπαύστοις, πρεσβείαις προσωκοιώσατε, τάχει πανεύφημοι, Ἀπόστολοι ὅπως πυρός, δι' ὑμῶν διαφύγω τοῦ μέλλοντος.

Ὁ θίασος τῶν σοφῶν γενέσθω μοι, καὶ ἐνδόξων Ἀποστόλων ὡς τεῖχος, κατὰ παθῶν ψυχοφθόρων καὶ πάσης, ἐπιβουλῆς τῶν δαιμόνων καὶ ἴασις, κατατρυχόντων με δεινῶς, ἀλγηδόνων ἀπαύστως τοῦ σώματος.

*Θεοτοκίον.*

Ἱκέτευε τὸν Υἱόν σου Δέσποινα, καὶ Θεὸν καὶ τῶν ἀνθρώπων Σωτῆρα, πρίν με τομῆς, ἡ ἀξίνη προφθάσῃ, τῆς εὐσπλαγχνίας αὐτοῦ ἀξιῶσαί με, ῥανίδος ὅπως ἐν καιρῷ, συγχωρήσεως τύχω τῆς κρίσεως.

*ᾨδὴ Ζ΄ Παῖδες Ἑβραίων.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πέτρε καὶ Παῦλε σὺν τῷ θείῳ, Ἰωάννῃ καὶ Ἀνδρέᾳ τὸν Σωτῆρα, ταῖς ἀπαύστοις Ὑμῶν πρεσβείαις δυσωπεῖτε, ὅπως τῶν ἀμετρήτων μου λύσιν εὕρω ἐγκλημάτων.

Ῥύσατε Μαθηταὶ τοῦ Λόγου, σοφὲ Μάρκε καὶ Ἰάκωβε καὶ Σίμων, καὶ συνάμα κλεινέ, θεῖε Βαρθολομαῖε, ἱκέτην τὸν Ὑμέτερον πειρασμῶν καὶ ἐκ κινδύνων.

Σάλου με τῶν παθῶν Ματθαῖε, καὶ πανένδοξε Λουκᾶ σὺν τῷ Φιλίππῳ, καὶ Θωμᾶ τοῦ Χριστοῦ, θεόλεκτος χορεία, ἐχθρῶν ἐλευθερώσατε, ἱκεσίαις Ὑμετέραις.

*Θεοτοκίον.*

Ὤφθη ἐκ σοῦ Παρθενομῆτορ, ὁ προάναρχος Θεὸς σεσαρκωμένος, εἰς τὸ σῶσαι βροτῶν, τὸ γένος ὡς οἰκτίρμων, ὅνπερ ἀεὶ ἱκέτευε, πανευσπλάγχνως κἀμὲ σῶσαι.

*ᾨδὴ Η΄ Ἄγγελοι καὶ οὐρανοί.*

Τάφῳ φέρων ὡσπερεί, τὴν παναθλίαν μου ψυχήν ἐν τῷ σώματι, νενεκρωμένην τοῖς ἀθέσμοις ἔργοις μου, τῆς ζωῆς οἱ αὐτόπται, ὑμῶν ταῖς ἱκεσίαις, ζωώσατε ἐν τάχει.

Ὗς καθάπερ ὁ δεινός, ἁμαρτιῶν βορβόρῳ κυλινδούμενος, καὶ μετανοίας οὐδαμῶς μὴ σθένων ἄρξασθαι, ὑμῖν καταφεύγω, ταύτης μοι δοθῆναι Ἀπόστολοι τοῦ Λόγου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φέγγει τῶν ἱκεσιῶν, τῶν ἡμετέρων ἔνδοξοι φωτίσατε, τὸν σκοτισθέντα νοῦν μου παραπτώμασι, καὶ φρονεῖν με δοθῆναι, Ἀπόστολοι θεῖοι ἀεὶ τῶν οὐρανίων.

*Θεοτοκίον.*

Νίκησόν μου Ἀγαθή, τοῦ Θεοῦ μου Μῆτερ τὸ ἐπίμονον, καὶ συνηθείας εἰδεχθοῦς ἀπάλλαξον, ὅπως εὐλογῶ σε καὶ ὑπερυψῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Χειρὸς τοῦ βροτοκτόνου, δράκοντος ἐν τάχει, ὡς μαθηταὶ τοῦ Σωτῆρός με ἀφαρπάσατε, καὶ θεαρέστῳ τῇ τρίβῳ καθωδηγήσατε.

Ψυχήν μου ψυχοσῶσται, τὴν κεκακωμένην, καὶ τῷ ὀλέθρῳ Ἀπόστολοι προσεγγίζουσαν, ταύτην πανένδοξοι διασώσατε.

Ὡς τοῦ σεσαρκωμένου, Λόγου μυστολέκται, νόσους τοῦ σώματος ἅμα καὶ τῆς ψυχῆς, ἰάσατέ μου, πρεσβείαις Ὑμῶν μακάριοι.

*Θεοτοκίον.*

Μαρία τῶν ἀγγέλων, ἡ ἐνδοξοτέρα, τοῖς ἐν τῷ Ὄρει μονάζουσιν Ἄθῳ Ἁγνή, τὰ σὰ ἐλέη πλουσίως κατάπεμψον.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄.*

Πέτρε κορυφαῖε ἔνδοξε, καὶ θεῖε Παῦλε Χριστοῦ, τοῦ Σωτῆρος Ἀπόστολοι, οἱ φωταγωγήσαντες διδαχαῖς ὑμῶν ἅπασαν, τὴν οἰκουμένην καὶ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐπιστρέψαντες, πρὸς θείαν γνῶσιν τὰ ἔθνη ἅπαντα, κἀμὲ προσπίπτοντα, ἐν θερμοῖς τοῖς δάκρυσιν Ὑμῖν βυθοῦ, τάχει καθελκύσατε τῆς ἀπογνώσεως.

Γόνε τῆς βροντῆς φερώνυμε, ἠγαπημένε Χριστοῦ, Ἰωάννη θεόλεκτε, καὶ Ἀνδρέα ἔνδοξε, δωδεκάδος Πρωτόκλητε, Βαρθολομαῖε Λουκᾶ καὶ Φίλιππε, ταῖς ἱκεσίαις ὑμῶν πανεύφημοι, τὸν πλανηθέντα με, καὶ ἀποσκιρτήσαντα τῆς Πατρικῆς, σκέπης ἐπιστρέψατε θεομακάριστοι.

Σίμων καὶ κλεινὲ Ἰάκωβε, Θωμᾶ καὶ Μάρκε σοφέ, καὶ Ματθαῖε πανένδοξε, οἱ τοῦ Λόγου κήρυκες, Ἐκκλησίας ἐρείσματα, πόρρω που ταύτης, ἑσμὸν ὀλέθριον, τῶν κακοδόξων ἀποτινάξατε, καὶ εἰρηνεύσατε, ταῖς ὑμῶν δεήσεσι καὶ ἐσαεί, ταύτην διασώσατε ἀδιαλώβητον.

Σύ τῶν ὀρφανῶν προάσπισις, χειμαζομένων λιμήν, θλιβομένων παράκλησις, τῶν πτωχῶν βοήθεια, καὶ προστάτις πανέτοιμος, ἀδικουμένων καὶ ὁδηγήτρια, ἁμαρτανόντων πρὸς τὴν μετάνοιαν, ταύτης με Δέσποινα, πρὶν τῆς διαζεύξεως φθάσῃ καιρός, δωρεὰν ἀξίωσον τῇ εὐσπλαγχνίᾳ σου.